33 [33]ἐὰν οὖν καλέσῃ ὑμᾶς Φαραω καὶ εἴπῃ ὑμῖν Τί τὸ ἔργον ὑμῶν
34 ἐστιν; [34]ἐρεῖτε Ἄνδρες κτηνοτρόφοι ἐσμὲν οἱ παῖδές σου ἐκ παι-
δὸς ἕως τοῦ νῦν, καὶ ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν, ἵνα κατοική-
σητε ἐν γῇ Γεσεμ Ἀραβίᾳ· βδέλυγμα γάρ ἐστιν Αἰγυπτίοις πᾶς
ποιμὴν προβάτων.

47 [1]Ἐλθὼν δὲ Ιωσηφ ἀπήγγειλεν τῷ Φαραω λέγων Ὁ πατήρ μου
καὶ οἱ ἀδελφοί μου καὶ τὰ κτήνη καὶ οἱ βόες αὐτῶν καὶ πάντα
2 τὰ αὐτῶν ἦλθον ἐκ γῆς Χανααν καὶ ἰδού εἰσιν ἐν γῇ Γεσεμ. [2]ἀπὸ
δὲ τῶν ἀδελφῶν αὐτοῦ παρέλαβεν πέντε ἄνδρας καὶ ἔστησεν αὐ-
3 τοὺς ἐναντίον Φαραω. [3]καὶ εἶπεν Φαραω τοῖς ἀδελφοῖς Ιωσηφ
Τί τὸ ἔργον ὑμῶν; οἱ δὲ εἶπαν τῷ Φαραω Ποιμένες προβάτων
4 οἱ παῖδές σου, καὶ ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν. [4]εἶπαν δὲ τῷ Φα-
ραω Παροικεῖν ἐν τῇ γῇ ἥκαμεν· οὐ γάρ ἐστιν νομὴ τοῖς κτή-
νεσιν τῶν παίδων σου, ἐνίσχυσεν γὰρ ὁ λιμὸς ἐν γῇ Χανααν· νῦν
5 οὖν κατοικήσομεν οἱ παῖδές σου ἐν γῇ Γεσεμ. [5]εἶπεν δὲ Φαραω
τῷ Ιωσηφ Κατοικείτωσαν ἐν γῇ Γεσεμ· εἰ δὲ ἐπίστῃ ὅτι εἰσὶν ἐν
αὐτοῖς ἄνδρες δυνατοί, κατάστησον αὐτοὺς ἄρχοντας τῶν ἐμῶν
κτηνῶν.

[7]Ἦλθον δὲ εἰς Αἴγυπτον πρὸς Ιωσηφ Ιακωβ καὶ οἱ υἱοὶ αὐτοῦ,
καὶ ἤκουσεν Φαραω βασιλεὺς Αἰγύπτου. καὶ εἶπεν Φαραω πρὸς
Ιωσηφ λέγων Ὁ πατήρ σου καὶ οἱ ἀδελφοί σου ἥκασι πρὸς σέ·
6 [6]ἰδοὺ ἡ γῆ Αἰγύπτου ἐναντίον σού ἐστιν· ἐν τῇ βελτίστῃ γῇ κατοί-
7 κισον τὸν πατέρα σου καὶ τοὺς ἀδελφούς σου. [7]εἰσήγαγεν δὲ
Ιωσηφ Ιακωβ τὸν πατέρα αὐτοῦ καὶ ἔστησεν αὐτὸν ἐναντίον Φαραω,
8 καὶ εὐλόγησεν Ιακωβ τὸν Φαραω. [8]εἶπεν δὲ Φαραω τῷ Ιακωβ
9 Πόσα ἔτη ἡμερῶν τῆς ζωῆς σου; [9]καὶ εἶπεν Ιακωβ τῷ Φαραω
Αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου, ἃς παροικῶ, ἑκατὸν τριάκοντα
ἔτη· μικραὶ καὶ πονηραὶ γεγόνασιν αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς
μου, οὐκ ἀφίκοντο εἰς τὰς ἡμέρας τῶν ἐτῶν τῆς ζωῆς τῶν πατέ-
10 ρων μου, ἃς ἡμέρας παρῴκησαν. [10]καὶ εὐλογήσας Ιακωβ τὸν
11 Φαραω ἐξῆλθεν ἀπ᾽ αὐτοῦ. [11]καὶ κατῴκισεν Ιωσηφ τὸν πατέρα
καὶ τοὺς ἀδελφοὺς αὐτοῦ καὶ ἔδωκεν αὐτοῖς κατάσχεσιν ἐν γῇ
Αἰγύπτου ἐν τῇ βελτίστῃ γῇ ἐν γῇ Ραμεσση, καθὰ προσέταξεν
12 Φαραω. [12]καὶ ἐσιτομέτρει Ιωσηφ τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς αὐ-
τοῦ καὶ παντὶ τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ σῖτον κατὰ σῶμα.

13 [13]Σῖτος δὲ οὐκ ἦν ἐν πάσῃ τῇ γῇ· ἐνίσχυσεν γὰρ ὁ λιμὸς
σφόδρα· ἐξέλιπεν δὲ ἡ γῆ Αἰγύπτου καὶ ἡ γῆ Χανααν ἀπὸ τοῦ

33 εστιν > A || 34 εσμεν / οι παιδες σου] tr. A† | αιγυπτιοις M] pr. τοις A, αιγυπτιων B†

47 1 μου $1^{0}$ > B | μου $2^{0}$ > B† || 2 αυτου > B† || 3 fin.] + εκ παιδιοθεν εως του νυν A || 4 οι παιδες σου > B† || 8 της > A || 9 αφεικετο A† || 11 αιγυπτω A: item in 14 || 12 και τοις αδ. / αυτου] tr. B